# ΜΙΚΡΟΝ ΕΥΧΟΛΟΓΙΟΝ

15

# Ἀκολουθία
# Ἐπὶ τῇ Ἐνάρξει
# Μοναχικῆς Δοκιμασίας

ΕΚΔΟΣΕΙΣ
ΙΕΡΑΣ ΜΟΝΗΣ
ΑΓΙΩΝ ΚΥΠΡΙΑΝΟΥ ΚΑΙ ΙΟΥΣΤΙΝΗΣ
ΦΥΛΗ ΑΤΤΙΚΗΣ
2013

15

# Ἀκολουθία
# Ἐπὶ τῇ Ἐνάρξει Μοναχικῆς Δοκιμασίας

# Περιεχόμενα


● Εἴδησις ........................................ 5
Α′. Ἔναρξις ........................................ 6
Β′. Ἀπολυτίκια ........................................ 8
Γ′. Δεήσεις καὶ Εὐχὴ ........................................ 9
Δ′. Ἔνδυσις ........................................ 13
Ε′. Ἀπόλυσις ........................................ 14




✠


© Ἱερὰ Μονὴ Ἁγίου Κυπριανοῦ


Φυλὴ Ἀττικῆς
Α.Γ. 112 - 133 51 ΦΥΛΗ GREECE
Ἀριθμ. Τηλεφ. Κλήσεως: 210 24 11 380
Τηλεαντίγραφα (Telefax): 210 24 11 080
E-mail : kyprianos@synodinresistance.org
Ἱστοσελίδα: http://www.synodinresistance.org

# ΑΚΟΛΟΥΘΙΑ ΕΠΙ ΤΗι ΕΝΑΡΞΕΙ ΜΟΝΑΧΙΚΗΣ ΔΟΚΙΜΑΣΙΑΣ

## Εἴδησις

Ἰστέον, ὅτι ἐν τοῖς ἐκδεδομένοις Μεγάλοις Εὐχολογίοις δὲν περιέχεται εἰδικὴ Ἀκολουθία, δι᾿ ἧς νὰ εὐλογῆται ἡ ἔναρξις τοῦ σταδίου τῆς δοκιμασίας εὐσεβοῦς τινος, μέλλοντος νὰ ἐνταχθῇ εἰς τὴν Ἰσάγγελον Πολιτείαν, ἂν βεβαίως οὗτος ἀναδειχθῇ δόκιμος ἐν πᾶσι πρὸς τοῦτο.

**Ἐν** δὲ τῷ Μεγάλῳ Εὐχολογίῳ τοῦ Οἴκου Μιχαὴλ Ἰ. Σαλιβέρου, τῇ ἐπιμελείᾳ τοῦ Πρωτοπρεσβυτέρου Νικολάου Παν. Παπαδοπούλου, ἡ ὑπάρχουσα «Εὐχὴ ἐπὶ μελλούσῃ λαμβάνειν Σχῆμα Μοναστρίας», κρίνεται σαφῶς ὡς ἀνεπαρκὴς διὰ τὴν ἀναφερθεῖσαν ἀνάγκην.

**Πρὸς** τοῦτο, συνετάγη ἡ μετὰ χεῖρας Ἀκολουθία, ἔχουσα χαρακτῆρα καθαρῶς ἐκκλησιαστικῆς εὐλογίας καὶ μόνον, μηδόλως δηλονότι δεσμευτικὸν διὰ τὸν δοκιμα-

ζόμενον εὐσεβῆ, ἐν ᾗ περιπτώσει οὗτος δὲν ἀκολουθήσει τελικῶς τὸν Μοναχικὸν Βίον.

**Οὕτω** δέ, ὁ Δόκιμος θέτει ἐξ ἀρχῆς ὑπὸ τὴν θείαν εὐλογίαν τὸ διάστημα τῆς Δοκιμασίας αὐτοῦ, ἵνα οὕτως ἢ ἄλλως ἀποκαλυφθῇ ἐν τῷ μεταξὺ χρόνῳ τὸ θέλημα τοῦ Νυμφαγωγοῦ τῶν ψυχῶν ἡμῶν Κυρίου καὶ Θεοῦ καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ.

**Ἰστέον,** ὅτι αὕτη ἡ «Ἀκολουθία ἐπὶ τῇ Ἐνάρξει Μοναχικῆς Δοκιμασίας» δύναται νὰ τελεσθῇ καὶ αὐτοτελῶς ὡς ἐφ᾽ ἑξῆς, εἰ δὲ καὶ συναφθῇ τῷ Ἑσπερινῷ ἢ τῷ Ὄρθρῳ, πρὸ τῆς Ἀπολύσεως αὐτῶν, ἄρχεται ἀπ᾽ εὐθείας διὰ τῶν προβλεπομένων Τροπαρίων.

* * *

## Α'. ΕΝΑΡΞΙΣ

**Ὁ Διάκονος·**

Εὐλόγησον, Δέσποτα!

**Ὁ Ἱερεύς·**

Εὐλογητὸς ὁ Θεὸς ἡμῶν, πάντοτε· νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων!

**Ὁ Χορός·**

Ἀμήν!

**Ὁ Ἱερεύς·**

Δόξα Σοι, ὁ Θεὸς ἡμῶν, δόξα Σοι!

Βασιλεῦ οὐράνιε, Παράκλητε, τὸ Πνεῦμα τῆς ἀληθείας, ὁ πανταχοῦ παρών, καὶ τὰ πάντα πληρῶν, ὁ θησαυρὸς τῶν ἀγαθῶν, καὶ ζωῆς χορηγός, ἐλθὲ καὶ σκήνωσον ἐν ἡμῖν, καὶ καθάρισον ἡμᾶς ἀπὸ πάσης κηλῖδος, καὶ σῶσον, Ἀγαθέ, τὰς ψυχὰς ἡμῶν.

**Ὁ Ἀναγνώστης·**

Ἀμήν. Ἅγιος ὁ Θεός, Ἅγιος Ἰσχυρός, Ἅγιος Ἀθάνατος, ἐλέησον ἡμᾶς. (γ′)

Δόξα Πατρὶ καὶ Υἱῷ καὶ Ἁγίῳ Πνεύματι· καὶ νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Παναγία Τριάς, ἐλέησον ἡμᾶς· Κύριε, ἱλάσθητι ταῖς ἁμαρτίαις ἡμῶν· Δέσποτα, συγχώρησον τὰς ἀνομίας ἡμῖν· Ἅγιε, ἐπίσκεψαι καὶ ἴασαι τὰς ἀσθενείας ἡμῶν, ἕνεκεν τοῦ ὀνόματός Σου.

Κύριε, ἐλέησον. (γ′)

Δόξα Πατρὶ καὶ Υἱῷ καὶ Ἁγίῳ Πνεύματι· καὶ νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Πάτερ ἡμῶν, ὁ ἐν τοῖς οὐρανοῖς, ἁγιασθήτω τὸ ὄνομά Σου· ἐλθέτω ἡ βασιλεία Σου· γενηθήτω τὸ θέλημά Σου,

ὡς ἐν οὐρανῷ καὶ ἐπὶ τῆς γῆς. Τὸν ἄρτον ἡμῶν τὸν ἐπιούσιον δὸς ἡμῖν σήμερον· καὶ ἄφες ἡμῖν τὰ ὀφειλήματα ἡμῶν, ὡς καὶ ἡμεῖς ἀφίεμεν τοῖς ὀφειλέταις ἡμῶν· καὶ μὴ εἰσενέγκῃς ἡμᾶς εἰς πειρασμόν, ἀλλὰ ῥῦσαι ἡμᾶς ἀπὸ τοῦ πονηροῦ.

**Ὁ Ἱερεύς·**

Ὅτι Σοῦ ἐστιν ἡ βασιλεία καὶ ἡ δύναμις καὶ ἡ δόξα τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ Ἁγίου Πνεύματος, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

**Ὁ Χορός·**

Ἀμήν!

* * *

## Β΄. ΑΠΟΛΥΤΙΚΙΑ

Εἶτα ὁ Χορὸς ψάλλει τὰ ἑξῆς Τροπάρια·

**Ἀπολυτίκιον**
τοῦ Ἁγίου, ἐν ᾧ τιμᾶται ἡ Ἱερὰ Μονὴ

**Ἀπολυτίκια**
Πάντων τῶν ἐν Ἀσκήσει λαμψάντων
Ὁσίων καὶ Θεοφόρων Πατέρων ἡμῶν

Ἦχος δ΄.

Ὁ Θεὸς τῶν Πατέρων ἡμῶν, ὁ ποιῶν ἀεὶ μεθ᾽ ἡμῶν, κατὰ τὴν Σὴν ἐπιεί-

κειαν, μὴ ἀποστήσῃς τὸ ἔλεός Σου ἀφ᾽ ἡμῶν, ἀλλὰ ταῖς αὐτῶν ἱκεσίαις ἐν εἰρήνῃ κυβέρνησον τὴν ζωὴν ἡμῶν.

Ἕτερον. Ἦχος γ΄. Τὴν ὡραιότητα.

Τὸ πολυσύνθετον, Πατέρων σύστημα, ἀνευφημήσωμεν, ἐνθέοις ᾄσμασι, τοὺς ἐν Ἑῴᾳ καὶ Βορρᾷ, καὶ Ἄρκτῳ καὶ Μεσημβρίᾳ, ἐν ἀσκήσει λάμψαντας, καὶ Θεὸν θεραπεύσαντας, ἀρετῶν ἀκρότητι, καὶ θαυμάτων δυνάμεσι, γνωστοὺς καὶ ἀνωνύμους καὶ πάντας, οὓς ὁ Χριστὸς λαμπρῶς ἐδόξασε.

Δόξα Πατρὶ καὶ Υἱῷ καὶ Ἁγίῳ Πνεύματι· καὶ νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Θεοτοκίον. Ἦχος γ΄.

Ἕκαστος ὅπου σῴζεται, ἐκεῖ δικαίως καὶ προστρέχει· καὶ ποία ἄλλη τοιαύτη καταφυγὴ ὡς Σὺ Θεοτόκε, σκέπουσα τὰς ψυχὰς ἡμῶν;

* * *

## Γ΄. ΔΕΗΣΕΙΣ ΚΑΙ ΕΥΧΗ

Τούτων ψαλλομένων, ὁ μέλλων δοκιμασθῆναι, προσκυνήσας τὰς ἱερὰς Εἰκό-

νας καὶ λαβὼν συγχώρησιν ἔκ τε τοῦ Ἡγουμένου καὶ τῆς Ἀδελφότητος, ἵσταται πρὸ τῆς Ὡραίας Πύλης ἔναντι τοῦ Ἱερέως, οὗτος δὲ σφραγισάμενος τρὶς ἐπὶ τῇ κεκλειμένῃ κεφαλῇ αὐτοῦ, λέγει·

**Ε**ἰς τὸ Ὄνομα τοῦ Πατρός, καὶ τοῦ Υἱοῦ, καὶ τοῦ Ἁγίου Πνεύματος. **Ἀ**μήν!

**Ἐ**ν συνεχείᾳ, ὁ Ἱερεὺς ἐπιτίθησι τὸ ἱερὸν Ἐπιτραχήλιον τῇ κεφαλῇ τοῦ προσερχομένου, ἔχων δὲ τὴν δεξιὰν χεῖρα ἐπικειμένην αὐτῷ, ποιοῦνται αἱ ἑξῆς δεήσεις.

**Ὁ Διάκονος·**

**Ἐ**λέησον ἡμᾶς, ὁ Θεός, κατὰ τὸ μέγα ἔλεός Σου, δεόμεθά Σου, ἐπάκουσον καὶ ἐλέησον.

**Κ**ύριε, ἐλέησον. **(γ′)**

**Ἔ**τι δεόμεθα, ὑπὲρ ἐλέους ζωῆς, εἰρήνης, ὑγείας, σωτηρίας, ἐπισκέψεως, συγχωρήσεως καὶ ἀφέσεως τῶν ἁμαρτιῶν, τοῦ δούλου τοῦ Θεοῦ **(δεῖνος)**.

**Κ**ύριε, ἐλέησον. **(γ′)**

**Ἔ**τι δεόμεθα, ὑπὲρ τοῦ διαφυλαχθῆναι αὐτὸν ἐν ἀμέμπτῳ βιοτῇ καὶ πολιτείᾳ κατὰ τὴν διάρκειαν τῆς Δοκιμασίας αὐτοῦ.

**Κ**ύριε, ἐλέησον. **(γ′)**

Ἔτι δεόμεθα, ὑπὲρ τοῦ ῥυσθῆναι αὐτόν τε καὶ ἡμᾶς ἀπὸ πάσης θλίψεως, ὀργῆς, κινδύνου καὶ ἀνάγκης.

Κύριε, ἐλέησον. (γ′)

Ἀντιλαβοῦ, σῶσον, ἐλέησον καὶ διαφύλαξον αὐτόν τε καὶ ἡμᾶς, ὁ Θεὸς τῇ Σῇ χάριτι.

Κύριε, ἐλέησον. (γ′)

Τῆς Παναγίας, ἀχράντου, ὑπερευλογημένης, ἐνδόξου Δεσποίνης ἡμῶν Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας, μετὰ πάντων τῶν Ἁγίων μνημονεύσαντες, ἑαυτοὺς καὶ ἀλλήλους, καὶ πᾶσαν τὴν ζωὴν ἡμῶν, Χριστῷ τῷ Θεῷ παραθώμεθα.

**Ὁ Διάκονος·**

Τοῦ Κυρίου, δεηθῶμεν!

**Ὁ Χορός·**

Κύριε, ἐλέησον.

**Ὁ Ἱερεύς·**

## Εὐχὴ
## Ἐπὶ Ἐνάρξει Μοναχικῆς Δοκιμασίας

Κύριε ὁ Θεὸς ἡμῶν, τὴν ἐκτενῆ ταύτην ἱκεσίαν πρόσδεξαι παρὰ τῶν Σῶν δούλων, καὶ ἐλέησον τὸν δοῦλόν Σου

**(δεῖνα)** κατὰ τὸ πλῆθος τοῦ ἐλέους Σου.

**Κ**αὶ τοὺς οἰκτιρμούς Σου κατάπεμψον ἐπ᾽ αὐτόν, καταλιπόντα τὰς προσκαίρους καὶ ματαίας τοῦ κόσμου τούτου δόξας, καὶ ἀρχόμενον τοῦ σταδίου τῆς Δοκιμασίας αὐτοῦ.

**Π**ρόσδεξαι αὐτὸν τῇ συνήθει Σου φιλανθρωπίᾳ, καὶ τῆς τοῦ Ἁγίου Σου Πνεύματος ἐπιφοιτήσεως καταξίωσον, ἵνα εὐαρέστως Σοι διανύσῃ τὸν χρόνον τῆς δοκιμασίας αὐτοῦ·

**Ν**αί, ἐπουράνιε Νυμφίε τῶν ψυχῶν ἡμῶν, ἐνίσχυσον τὸν δοῦλόν Σου **(δεῖνα)** καὶ διαφύλαξον αὐτὸν ἀπὸ πάσης ἐπιβουλῆς τοῦ ἀλλοτρίου, πληροφορῶν αὐτόν τε καὶ ἡμᾶς περὶ τοῦ Σοῦ θελήματος, ἵνα δοξασθῇ τὸ Σὸν Ὄνομα ὡς ἐν οὐρανῷ καὶ ἐπὶ τῆς γῆς.

**Ὅ**τι ἐλεήμων καὶ φιλάνθρωπος Θεὸς ὑπάρχεις καὶ τὴν Ἀγγελικὴν τῶν Μοναχῶν Πολιτείαν εὐλογεῖς, καὶ Σοὶ τὴν δόξαν καὶ προσκύνησιν προσφέρομεν, σὺν τῷ Ἀνάρχῳ Σου Πατρί, καὶ τῷ Παναγίῳ καὶ Ἀγαθῷ καὶ Ζωοποιῷ Σου Πνεύματι, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. **Ἀ**μήν!

* * *

# Δ΄. ΕΝΔΥΣΙΣ

**Ε**ἶτα, ὁ Ἱερεὺς παραλαμβάνει παρὰ τοῦ Ἡγουμένου τὰ ἐν κανίστρῳ ἐνώπιον τῆς Εἰκόνος τοῦ Δεσπότου ἡμῶν Χριστοῦ εὑρισκόμενα ἐξ᾽ ἀρχῆς φαιόχρωμα ἐνδύματα τοῦ Δοκίμου Μοναχοῦ καὶ εὐλογῶν ταῦτα, παραδίδει τῷ προσερχομένῳ πρὸς ἔνδυσιν·

Ἐνδυομένου δὲ αὐτοῦ, ὁ Χορὸς ψάλλει τὸ ἑξῆς Ἰδιόμελον.

Ἦχος α΄

Ἐπιγνῶμεν Ἀδελφοί, τοῦ Μυστηρίου τὴν δύναμιν· τὸν γὰρ ἐκ τῆς ἁμαρτίας, πρὸς τὴν Πατρικὴν Ἑστίαν, ἀναδραμόντα Ἄσωτον Υἱόν, ὁ πανάγαθος Πατήρ, προϋπαντήσας ἀσπάζεται, καὶ πάλιν τῆς ἰδίας Δόξης, χαρίζεται τὰ γνωρίσματα, καὶ μυστικὴν τοῖς ἄνω ἐπιτελεῖ εὐφροσύνην, θύων τὸν Μόσχον τὸν σιτευτόν, ἵνα ἡμεῖς ἀξίως πολιτευσώμεθα, τῷ τε θύσαντι φιλανθρώπῳ Πατρί, καὶ τῷ ἐνδόξῳ θύματι, τῷ Σωτῆρι τῶν ψυχῶν ἡμῶν.

Μετὰ τὸ τέλος τῆς ἐνδύσεως, ὁ Ἱερεὺς ἀσπάζεται αὐτόν, εὐχόμενος αἰσίαν ἔκβασιν τῆς Δοκιμασίας αὐτοῦ.

* * *

# Ε΄. ΑΠΟΛΥΣΙΣ

**Ὁ Ἱερεύς·**

Δόξα Σοι, Χριστὲ ὁ Θεός, ἡ ἐλπὶς ἡμῶν, Κύριε, δόξα Σοι!

**Ὁ Ἀναγνώστης·**

Δόξα Πατρὶ καὶ Υἱῷ καὶ Ἁγίῳ Πνεύματι· καὶ νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων· Ἀμήν.

Κύριε, ἐλέησον. (γ΄)

Πάτερ ἅγιε, εὐλόγησον!

**Ὁ Ἱερεύς·**

Χριστὸς ὁ ἀληθινὸς Θεὸς ἡμῶν, ταῖς πρεσβείαις τῆς παναχράντου καὶ παναμώμου ἁγίας Αὐτοῦ Μητρός· δυνάμει τοῦ τιμίου καὶ ζωοποιοῦ Σταυροῦ· προστασίαις τῶν τιμίων ἐπουρανίων Δυνάμεων Ἀσωμάτων· ἱκεσίαις τοῦ τιμίου, ἐνδόξου, προφήτου, προδρόμου καὶ βαπτιστοῦ Ἰωάννου· τῶν ἁγίων ἐνδόξων καὶ πανευφήμων Ἀποστόλων· τῶν ἁγίων ἐνδόξων καὶ καλλινίκων Μαρτύρων· τῶν ὁσίων καὶ θεοφόρων Πατέρων ἡμῶν· τοῦ Ἁγίου (τάδε - τοῦ Ναοῦ)· τῶν ἁγίων καὶ δικαίων Θεοπατόρων Ἰωακεὶμ καὶ Ἄννης· τοῦ Ἁγίου (τάδε - τῆς ἡμέρας), οὗ τὴν μνήμην ἐπιτελοῦμεν, καὶ πάντων τῶν Ἁγίων,

ἐλεήσαι καὶ σώσαι ἡμᾶς, ὡς ἀγαθὸς καὶ φιλάνθρωπος καὶ ἐλεήμων Θεός.

Δι᾽ εὐχῶν τῶν ἁγίων Πατέρων ἡμῶν, Κύριε Ἰησοῦ Χριστὲ ὁ Θεός, ἐλέησον ἡμᾶς!

**Ὁ Χορός·**

Ἀμήν!

✠

**Τῷ δὲ ἐν Τριάδι**
**Παναγίῳ καὶ Φιλανθρώπῳ Θεῷ ἡμῶν**
**δόξα, τιμή, προσκύνησις**
**καὶ εὐχαριστία.**
**Ἀμήν!**